πρὸς τὸ τὰ ἀγαθὰ ποιεῖν, ἀλλ' ἢ παντάπασιν ἀφίσταται τοῦ ποιεῖν, ἢ μόνον ἐνάγεται ἔξωθεν πρὸς τὸ ποιεῖν αὐτά. Τὰ τοίνυν τῷ σκοπῷ τοῦ ἐσχάτου τέλους καὶ τῇ ἀγάπῃ ἐναντιούμενα ἁμαρτήματα θανάσιμα εἰσίν. Εἰ δὲ τούτων σῳζομένων, τῆς ὀρθῆς τοῦ λόγου τάξεως ἔν τινί τις παρατρέποιτο, οὐκ ἔσται θανάσιμον ἁμάρτημα, ἀλλὰ τὸ λεγόμενον ἄξιον συγγνώμης.

## CXL. — Ὅτι τὰς ἀνθρωπίνας πράξεις ἢ ἀμείβεται ἢ κολάζει ὁ Θεός.

Οἱ γὰρ νομοθέται διὰ τῶν τιμωριῶν ἢ ἀμοιβῶν τὴν τῶν νόμων πράττουσι φυλακήν· τῇ δὲ θείᾳ προνοίᾳ προσήκει νομοθετεῖν τοῖς ἀνθρώποις, ὡς δέδεικται.

Ἔτι, οἱ διὰ τῆς θείας χωροῦντες τάξεως τοῦ τέλους τυγχάνουσιν, ὅπερ ἀμοιβῆς ἔχει λόγον· οἱ δὲ τῆς τάξεως ἀποχωροῦντες τοῦ τέλους τοῦ ἀγαθοῦ ἀποκλείονται διὰ τῆς ἁμαρτίας, ὅ ἐστι τὸ κολάζεσθαι.

Ἔτι, οὐ μόνον ἐν τῷ μέλλοντι βίῳ ἀναγκαία ἡ ἀμοιβὴ καὶ ἡ τιμωρία τοῖς ὑποτάξασι τὴν ἑαυτῶν βούλησιν τῷ Θεῷ, ἢ προτιμήσασι τὴν ἰδίαν ὄρεξιν τῆς θείας βουλήσεως· διὸ καὶ προτίθησιν ἐντεῦθεν ὁ Θεὸς τὰ ἀγαθὰ τοῖς ἀνθρώποις εἰς ἀμοιβήν, ἵνα ἡ θέλησις αὐτῶν κινῆται πρὸς τὸ πράττειν ὀρθῶς, καὶ τὰ κακὰ εἰς τιμωρίαν, ἵνα ἐκφύγῃ τὸ ἄτακτον, ἀλλὰ καὶ ἐν τῷδε τῷ βίῳ τῷ ἐνεργεῖσθαι | τὴν θείαν δικαιοσύνην ἐν ταῖς f. 126v ἀμοιβαῖς καὶ ταῖς τιμωρίαις, διεγείρονται μὲν οἱ ἄνθρωποι πρὸς τὸ εὖ ποιεῖν, διὰ τῶν ἀμοιβῶν τῶν καλῶς ποιούντων, ἀπέχουσι δὲ τοῦ κακῶς ποιεῖν, ὁρῶντες ἐνταῦθα τὴν τιμωρίαν τῶν πονηρῶν.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ Ἐξόδῳ· „Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, ἐπισκεπτόμενος ἁμαρτίαν πατέρων ἐπὶ τέκνα, καὶ ποιῶν ἔλεος τοῖς ἀγαπῶσί με καὶ ποιοῦσι τὰς ἐντολάς μου"· καὶ ἐν Ψαλμοῖς· „Σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ"· καὶ ἐν τῇ πρὸς Ῥωμαίους· „Ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ", καὶ τὰ ἑξῆς. Μαρκίων δὲ καὶ Βαλεντῖνος ἄλλον εἶναι δίκαιον Θεὸν τὸν τιμωρούμενον ἔλεγε παρὰ τὸν ἀγαθὸν Θεόν.

## CXLI. — Περὶ τῆς τάξεως καὶ διαφορᾶς τῶν κολάσεων.

Ὅτι μεγίστη τιμωρία τῷ ἀνθρώπῳ τὸ τῆς μακαριότητος ἀποκλεισθῆναι, μετὰ δὲ τοῦτο ἀρετῆς στερηθῆναι καὶ τῆς πρὸς τὸ εὖ ποιεῖν τελειώσεως ἑκάστης τῶν φυσικῶν δυνάμεων τῆς ψυχῆς· εἶτα, ἡ τῶν φυσικῶν δυνάμεων τῆς ψυχῆς ἀταξία· μετὰ δὲ τοῦτο ἡ τοῦ σώματος βλάβη, καὶ ἐπὶ τούτοις ἡ τῶν ἔξωθεν ἀγαθῶν ἀποβολή. Οἱ δὲ ἄνθρωποι, διὰ τὸ διαφόρως διακεῖσθαι αὐτοὺς πρὸς τὴν θέλησιν τοῦ ἀγαθοῦ ἢ κακοῦ, τὰ ἐναντία τῇ θελήσει αὐτῶν μείζω καὶ φοβερώτερα κρίνουσιν, εἰ καὶ ἐλάττω

---

24 Ex. 20, 5-6 26 Ps. 61, 13 27 Rom. 2, 6-8

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

εἰσὶν ἐν τῷ γένει τῶν τιμωριῶν καὶ τῇ τάξει· διὸ ἐνίοις αἱ τοῦ σώματος βλάβαι ἢ αἱ τῶν ἔξωθεν πραγμάτων ζημίαι μείζους δοκοῦσι τιμωρίαι τῆς ἐν ψυχῇ ἀταξίας καὶ τῆς περὶ τὴν ἀρετὴν ζημίας καὶ τῆς ἀποβολῆς τῆς θείας μακαριότητος διὰ τὸ προστεθηκέναι αὐτοὺς τοῖς αἰσθητοῖς καὶ σωματικοῖς καὶ προσκαίροις. Αἱ δὲ περὶ τὸ σῶμα καὶ τὰ ἔξωθεν εὐθυνίαι πολλάκις συγχωροῦνται τοῖς σπουδαίοις, καὶ ὑπηρετοῦνται πρὸς ἀρετήν· πολλάκις δὲ ἄλλοις σπουδαίοις ἀφαιροῦνται, οἷς εἰς ἀγαθὸν εἴη ἂν ἡ τούτων ἀποβολή. Καὶ φαύλοις δέ ποτε τὰ τοιαῦτα ἐπιτρέπεται δι' ἐγκατάλειψιν καὶ εἰς κολάσεως λόγον, ἵνα τοὺς ἔχοντας ἐπὶ τὸ χεῖρον αὐτὰ προκαλῶνται. Τὸ δὲ διὰ τῆς δοκούσης καταδίκης, καθόσον ἀντίκειται ἁπλῶς τῇ τινὸς θελήσει πρὸς τὸ τῆς ἀρετῆς ἀγαθὸν αὐτὸν βοηθεῖσθαι, ἀδύνατον, μὴ προηγησαμένης ἁμαρτίας γενέσθαι, ἢ ἀταξίας ἐν τῇ ψυχῇ, καὶ ἀταξίας ἢ προηγουμένης τοῦ ἁμαρτήματος, ἢ ἐπακολουθούσης, ἢ καὶ
f. 127 χείρων ἐστὶν | διὰ τὸ ἐκ ταύτης ῥᾷον μετὰ ταῦτα ῥέπειν πρὸς τὴν ἁμαρτίαν αὐτόν. Ἡ τοιαύτη δὲ καταδίκη βουλητή ἐστί ποτε τῷ ὑφισταμένῳ, καθόσον ἀποβλέπει πρὸς τὸ τέλος.

Καὶ ἁπλῶς δῆλόν ἐστιν, ὅτι ὑπὲρ ἁμαρτιῶν τιμωρεῖται ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ ὅτι χωρὶς ἁμαρτίας οὐ τιμωρεῖται.

## CXLII. — Ὅτι οὔτε αἱ ἀμοιβαὶ οὔτε αἱ τιμωρίαι ἴσαι.

Ἐπεὶ γὰρ ἡ θεία δικαιοσύνη τοῦτο ζητεῖ, τὸ διὰ τὸ τὴν προσήκουσαν ἐν τοῖς πράγμασιν ἰσότητα τηρεῖσθαι ὑπὲρ μὲν τῶν ἁμαρτιῶν τιμωρίας, ὑπὲρ δὲ τῶν ἀρετῶν ἆθλα ἀποδίδοσθαι, ἀναγκαῖόν ἐστιν ἑπομένως ὡς ἐν ταῖς ἐναρέτοις πράξεσι καὶ τοῖς ἄθλοις βαθμός τις εὑρίσκεται. οὕτω κἀν ταῖς τιμωρίαις, ἀναλόγως τοῖς ἁμαρτήμασιν. Δεῖ γὰρ τῇ κατὰ τὴν ποιότητα τῶν ἔργων ὑπεροχῇ καὶ τὴν τῶν ἀμοιβῶν καὶ τιμωριῶν ἀνισότητα ἀνταποκρίνεσθαι.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ Δευτερονομίῳ· „Πρὸς τὸ μέτρον τῆς ἁμαρτίας ἔσται καὶ ὁ τῶν πληγῶν τρόπος“· καὶ ἐν τῷ Ἡσαΐᾳ· „Ἐν μέτρῳ κατὰ τοῦ μέτρου, ὅταν ἀπορριφῇ, κρινῶ αὐτό“.

## CXLIII. — Περὶ τῆς ὀφειλομένης τιμωρίας τῇ πρὸς θάνατον ἁμαρτίᾳ καὶ τῇ μὴ πρὸς θάνατον.

Ἐπεὶ γὰρ τῶν ἁμαρτιῶν ἡ μὲν ἐδείχθη εἶναι πρὸς θάνατον, ἡ δὲ μὴ πρὸς θάνατον ἀλλὰ συγγνωστή, κατὰ δὲ τὴν τῶν ἁμαρτημάτων διαφορὰν δέδεικται καὶ τὴν τῶν τιμωριῶν εἶναι διαφοράν, ἀνάγκη τὸν πρὸς θάνατον ἁμαρτόντα, τουτέστι παντελῶς ἀποπεπτωκότα τῆς πρὸς τὸ τέλος τάξεως, καὶ τοῦ ἀνθρωπίνου τέλους ἀποπεσεῖν κολαζόμενον· τὸν δὲ συγγνωστῶς

---

28 Deut. 25, 2   29 Is. 27, 8

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἁμαρτόντα, τουτέστι μενούσης ἐν αὐτῷ τῆς τοῦ νοῦ τάξεως πρὸς τὸ τέλος, κωλύματί τινι πρὸς καιρὸν ἐπισχεθέντα τοῦ τείνειν ἐλευθέρως ἐπὶ τὸ τέλος, τοῦτον καὶ πρὸς καιρὸν ἐπισχεθῆναι τοῦ τέλους, ἢ δυσχέρειάν τινα ἐν τῷ τυχεῖν τοῦ τέλους παθεῖν· οὕτω γὰρ ἡ τῆς δικαιοσύνης ἰσότης φυλάττεται, ἵν' ὡς ἑκουσίως ὁ ἄνθρωπος ἁμαρτάνων ἀπεστράφη τοῦ τέλους, οὕτω κολαζόμενος ἀβουλήτως τοῦ τυχεῖν τοῦ τέλους κωλύηται.

Κἀντεῦθέν ἐστιν ὃ λέγεται ἐν τῷ κατὰ Ματθαῖον. „Ἀποχωρεῖτε ἀπ' ἐμοῦ, οἱ ἐργάται τῆς ἀνομίας".

CXLIV. — Ὅτι διὰ τῆς πρὸς θάνατον ἁμαρτίας τοῦ ἐσχάτου τέλους στερεῖταί τις ἀεί.

Ταύτην δὲ τὴν κόλασιν, ᾗ τις τοῦ ἐσχάτου στερεῖται τέλους, ἀτελεύτητον εἶναι ἀνάγκη· ἡ γὰρ στέρησις | αὕτη μετὰ τὸν βίον τοῦτόν ἐστιν, f. 127v ἐν ᾧ οὐ πέφυκε τοῦ τέλους τυγχάνειν τοῦ ἐσχάτου, ἀλλ' ὕστερον μετὰ τοῦτον· τότε δὲ οὐ μένει δύναμις ἐν τῷ ἀνθρώπῳ πρὸς τὸ τυγχάνειν τοῦ τέλους. Ἀποβαλοῦσα γὰρ ἡ ψυχὴ τὸ σῶμα, δι' οὗ περιποιεῖται ἑαυτῇ τὸ τέλειον ἐν τῇ ἐπιστήμῃ καὶ ἀρετῇ, οὐκ ἐπανακάμπτει πρὸς τὸ δύνασθαι διὰ τοῦ σώματος λαβεῖν αὐτό, ὡς οἱ μετενσωματώσεις τιθέντες ἔλεγον. Ἀναγκὴ ἄρα τὸν τὴν τοιαύτην δίκην ὑπέχοντα ὥστε τοῦ ἐσχάτου στερεῖσθαι τέλους, καὶ εἰσαεὶ τυγχάνειν ἐστερημένον.

Ἔτι, καὶ ὁ εἰς τὰ δημόσια ἁμαρτάνων τῆς τῶν πολιτικῶν κοινωνίας στερεῖται θανάτῳ ἢ φυγῇ συνεχεῖ, καὶ οὐ προσλογίζεται ὁ νόμος πόση τις ἦν ἡ ἐν τῷ ἁμαρτάνειν διατριβή, ἀλλὰ τί ἐστι καθ' οὗ ἥμαρτεν· ἡ δ' αὐτή ἐστι παράθεσις ὅλης τῆς παρούσης ζωῆς πρὸς τὸ πολιτικὸν πρᾶγμα, καὶ ὅλης τῆς ἀϊδιότητος πρὸς τὴν κοινωνίαν τῶν μακαρίων. Ὁ ἄρα εἰς τὸ ἔσχατον ἁμαρτάνων τέλος ἀεὶ δίκαιος ἂν εἴη κολάζεσθαι, εἰ καὶ βραχὺ διέτριψεν ἐν τῷ ἁμαρτάνειν· ἅπαξ γὰρ ἀνάξιον ἑαυτὸν τοῦ ἐσχάτου ἀγαθοῦ ἀπέδειξεν, ᾧ ἐναντίος ἦν, καὶ δεῖ διηνεκῶς αὐτὸν αὐτοῦ στέρεσθαι.

Ἔτι, ἡ θέλησις παρὰ τῇ θείᾳ κρίσει ὡς τέλειόν τι νομίζεται· ὡς γὰρ τὰ ἔξωθεν γινόμενα ὁρῶσιν οἱ ἄνθρωποι, οὕτω καὶ ὁ Θεὸς ταῖς τῶν ἀνθρώπων ἐμβλέπει καρδίαις. Ὁ δὲ διά τι πρόσκαιρον ἀγαθὸν τοῦ ἐσχάτου τέλους ἀποστρεφόμενος, ὅπερ αἰώνιόν ἐστι κτῆμα, προετίμησε τὴν τοῦ προσκαίρου ἀπόλαυσιν τῆς αἰωνίας ἀπολαύσεως τοῦ ἐσχάτου τέλους, καὶ πολλῷ μᾶλλον ἂν εἵλετο ἀεὶ τοῦ προσκαίρου ἐκείνου ἀγαθοῦ ἀπολαύειν· ὥστε κατὰ τὴν θείαν κρίσιν οὕτως ὀφείλει τιμωρηθῆναι ὥσπερ ἂν εἰ αἰωνίως ἥμαρτεν. Οὐδενὶ δὲ ἀμφισβητήσιμον τὸ μὴ τοῖς αἰωνίως ἁμαρτάνουσιν αἰωνίαν ὀφείλεσθαι δίκην. Τῷ ἄρα ἀποστρεφομένῳ τοῦ ἐσχάτου τέλους αἰωνία δίκη ὀφείλεται.

---

7 Matth. 7, 23

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἐντεῦθεν τὸ ἐν τῷ Ματθαίῳ· „Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον". Ἀποκλείεται καὶ ἡ αἵρεσις τῶν λεγόντων τὰς τῶν κακῶν τιμωρίας τελευτᾶν ποτε ὡς ἐπαγομένας λόγῳ καθάρσεως.

## CXLV. — Ὅτι καὶ λυπηροῦ τινος πείρᾳ αἱ ἁμαρτίαι κολάζονται.

Καὶ οὐ μόνον τῷ τῆς μακαριότητος διηνεκῶς ἐκκλεισθῆναι· ἀναλογεῖν
f. 128 γὰρ δεῖ τὴν τιμωρίαν τῷ ἁμαρτήματι. Ἐν δὲ τῷ | ἁμαρτάνειν οὐχ ἡ διάνοια μόνον ἀποστρέφεται τοῦ ἐσχάτου τέλους, ἀλλὰ καὶ παρὰ τὸ δέον εἰς τὰ μάταια ἐπιστρέφεται ὥσπερ εἰς τέλος. Οὐκ ἄρα τῷ τοῦ τέλους ἀποκλεισθῆναι μόνον τιμωρητέος ὁ οὕτως ἁμαρτάνων, ἀλλὰ καὶ τῷ ἑτέρωθεν λυπηροῦ τινος αἰσθέσθαι· καὶ ὥσπερ τὸ ἀτάκτως ληφθὲν σιτίον οὐ μόνον οὐκ ἐντίθησιν ἰσχύν, ἀλλὰ καὶ νόσον ἐπάγει, καὶ ἐπὶ τῶν ὁμοίων πάντων ὡσαύτως, οὕτως ἔδει καὶ τὸν τὸ τέλος ἐν τοῖς κτιστοῖς πράγμασιν ἐνστησάμενον καὶ χρησάμενον αὐτοῖς κακῶς, ὅτι μὴ πρὸς τὸ τέλος ταῦτα ἀνάγει, μὴ τῷ τῆς μακαριότητος στερηθῆναι μόνον κολάζεσθαι, ἀλλὰ καὶ τῷ ἀνιαροῦ τινος πειραθῆναι.

Ἔτι, ὡς τοῖς ὀρθῶς πράττουσι χαρὰ καὶ τελειότης ἀκολουθεῖ, οὕτω τοῖς ἁμαρτάνουσι τιμωρίαν καὶ θλίψιν ἕπεσθαι δεῖ ἐξ ἐκείνων, ἐν οἷς τὸ τέλος ἑαυτοῖς ὑπεστήσαντο.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ Ματθαίῳ· „Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ", καὶ τὰ ἑξῆς· καὶ ἐν τοῖς Ψαλμοῖς· „Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας, πῦρ καὶ θεῖον", καὶ τὰ ἑξῆς. Ἀποσκορακίζεται δὲ καὶ ἡ αἵρεσις τῶν λεγόντων μίαν κόλασιν δοθήσεσθαι τοῖς ἁμαρτωλοῖς, τὴν τοῦ ἐσχάτου τέλους ζημίαν.

## CXLVI. — Ὅτι τοῖς δικασταῖς ἔξεστι τὰς τιμωρίας ἐπάγειν.

Ἐπειδὴ γὰρ τὰς ὑπὸ Θεοῦ ἐπαγομένας κολάσεις τινὲς κούφας ἡγοῦνται τῷ τῶν δρωμένων μόνον φροντίζειν, ἔταξεν ἡ θεία πρόνοια εἶναί τινας ἐν τῇ γῇ δικαστάς, οἳ κολάσεσιν αἰσθηταῖς ἐπὶ τὴν τῆς δικαιοσύνης φυλακὴν ἀναγκάσουσι τοὺς ἀνθρώπους, οἳ δῆλον, ὡς οὐχ ἁμαρτάνουσι τοὺς πονηροὺς τιμωρούμενοι. Οὐδεὶς γὰρ κατὰ τὸ δίκαια ποιεῖν ἁμαρτάνει. Δίκαιον δὲ τοὺς κακοὺς κολάζεσθαι, ὡς οὕτω τοῦ ἁμαρτήματος τὴν πρέπουσαν λαμβάνοντος τάξιν, καὶ ὥσπερ τινὲς ὑπηρέται τῆς θείας προνοίας οἱ τοιοῦτοί εἰσιν κατὰ τὴν διὰ τῶν ὑπερβεβηκότων ἐν τοῖς ὑποβεβηκόσιν ἐκπληρουμένην τοῦ Θεοῦ βούλησιν ἐν τῷ παντί· καὶ τὴν ἀνθρωπίνην ὁμόνοιαν ταῖς κολάσεσι ποιοῦσι καὶ βεβαιοῦσιν ἐν τοῖς ἀνθρώ-

1 Matth. 25, 46 22 Matth. 25, 41 23 Ps. 10, 7

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ποις, καὶ τὸ κοινὸν ἀγαθὸν προτιμῶντες, τοὺς ὀλέθρους καὶ ἐναντιουμένους αὐτῷ ἐκ μέσου ποιοῦνται, μιμούμενοι τοὺς ἰατροὺς ἐκκόπτοντας τὸ σεσηπός, εἰ τὴν τοῦ ὅλου σώματος φθορὰν ἀπειλεῖ.

Κἀντεῦθέν ἐστι τὸ τοῦ Ἀποστόλου ἐν τῇ πρὸς Κορινθίους· | „Οὐκ f. 128v
οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ; ἄρατε οὖν τὸν πονηρὸν ἐξ ὑμῶν [αὐτῶν]“· καὶ ἐν τῇ πρὸς Ῥωμαίους· „Οὐκ εἰκῇ τὴν μάχαιραν φορεῖ. Θεοῦ γάρ ἐστιν ὑπηρέτης πρὸς ὀργὴν βλέπων τὸν κακῶς ποιοῦντα“· καὶ ἐν τῇ Πέτρου· „Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, εἴτε βασιλεῖ ὡς ὑπερέχοντι, εἴτε ἄρχουσιν ὡς δι᾽ αὐτοῦ πεμπομένοις πρὸς ἐκδίκησιν μὲν τῶν κακῶν, ἔπαινον δὲ τῶν ἀγαθῶν“. Ἐκκλείεται δὲ καὶ ἡ αἵρεσις τῶν λεγόντων μὴ ἐξεῖναι σωματικῶς κολάζειν τινὰς διὰ τὸ γεγράφθαι· „Μὴ φονεύσῃς“, καὶ διὰ τὸ ἐν εὐαγγελίοις· „Ἄφετε ἀμφότερα αὐξάνεσθαι μέχρι τοῦ θερισμοῦ, τὸν σῖτον, ὡς ἐκεῖ λέγεται, καὶ τὰ ζιζάνια“, καὶ διὰ τὸ τὸν ἄνθρωπον, ἕως ἂν ζῇ, δύνασθαι ἐπὶ τὸ μετανοεῖν ἀφικνεῖσθαι· καίτοιγε ἐν μὲν „τῷ μὴ φονεύσῃς“ πρόσκειται· „Οὐχ ὑπομένεις ζῆν τοὺς κακοποιούς“· ὅθεν τὴν ἄδικον καὶ ἐξ ὀργῆς σφαγὴν ἐκεῖ ἀναιρεῖ, οὐ τὴν ἐκ ζήλου δικαιοσύνης. Τὸ δὲ ἀφίεσθαι τὰ ζιζάνια προστάττεται, ὅπου δέος ἐστὶ καὶ ἀγαθοὺς πολλοὺς συναναιρεῖσθαι τοῖς πονηροῖς ἑπομένους ἢ κατὰ τὴν τύχην, ἢ μηδὲ τοῦ ἁμαρτήματος τῶν φαύλων διακριθέντος φανερῶς· διὰ μετανοίας δὲ ἐπιστραφῆναι πρὸς Θεὸν καὶ ἐν τῷ ἐσχάτῳ τοῦ θανάτου δύνανται· εἰ δὲ μηδὲ τότε, δῆλον ὅτι οὐκ ἄν ποτε τῆς πονηρίας ζῶντες μετέστησαν.

## CXLVII. — Ὅτι ὁ ἄνθρωπος δεῖται θείας βοηθείας τυχεῖν τῆς μακαριότητος.

Δέδοται μὲν γὰρ τοῖς ἀνθρώποις φυσική τις ἐκ Θεοῦ χορηγία πρὸς τὸ τυγχάνειν τοῦ τέλους, καὶ τρόπος κυβερνήσεως ὑψηλότερος κατὰ τὴν τοῦ τέλους ἀναλογίαν, οἷον νοῦς καὶ λόγος, δι᾽ ὧν τὴν ἀλήθειαν διακρίνειν καὶ παρακολουθεῖν δύναται· καὶ δυνάμεις αἰσθητικαὶ ἔνδοθέν τε καὶ ἔξωθεν, δι᾽ ὧν βοηθοῖτ᾽ ἂν πρὸς τὸ τὴν ἀλήθειαν ἐξετάζειν· καὶ ἡ τοῦ προφορικοῦ λόγου χρῆσις ἵν᾽ οὕτως, ἀλλήλοις βοηθῶσιν οἱ ἄνθρωποι, φανεροῦντες τὴν συνεγνωσμένην ἀλήθειαν ἑαυτοῖς καὶ πρὸς ἄλλους, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις τῆς ζωῆς ἀναγκαίοις τῇ γλώττῃ χρώμενοι. Ἀλλὰ καὶ περαιτέρω τὸ ἔσχατον τοῦ ἀνθρώπου τέλος ἔν τινι τῆς ἀληθείας γνώσει συνέστηκεν τὴν φυσικὴν αὐτοῦ δύναμιν ὑπερβαίνοντι, ὥστ᾽ αὐτὴν δηλονότι τὴν πρώτην ἀλήθειαν ἐν ἑαυτῇ δύνασθαι καθορᾶν, ὥστε καὶ ἐκ τοῦ τέλους

---

4 I Cor. 5, 6, 13   6 Rom. 13, 4   8 I Pet. 2, 13-14   12 Ex. 20, 13   Matth. 13, 30
13 *αὐξάνεσθε* A   15 Ex. 22, 18   32 *συνεγνωσμένην* écrit en marge d'une autre main A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

f. 129 μάλιστα τὸν τῆς ἐκ Θεοῦ κυβερνήσεως | διαφορώτερον τρόπον ἐν ἀνθρώποις καταλαμβάνεσθαι. Τὰ γὰρ ἄλλα κτίσματα, μὴ δυνάμενα πρός τι τέλος ἀφικέσθαι τὴν φυσικὴν αὐτῶν δύναμιν ὑπερβαῖνον, καὶ τῆς προνοίας ἀναλογούσης ἀπολαύει τῷ τέλει. Τεταγμένος τοίνυν ὁ ἄνθρωπος πρὸς τέλος τὴν αὐτοῦ δύναμιν ὑπερβαῖνον εἰκότως ὑπερφυοῦς τινος βοηθείας δεῖται θεόθεν χορηγουμένης, δι' ἧς ἂν τείνοι πρὸς τὸ τέλος.

Ἔτι, καὶ ἀπὸ τῶν ἄλλων δῆλον, ὅτι τὸ τῆς ὑποβεβηκυίας φύσεως ὂν εἰς τὸ τῆς ὑπερβεβηκυίας φύσεως εἶδος οὐ δύναται προαχθῆναι εἰ μὴ τῇ δυνάμει τῆς ὑπερβεβηκυίας φύσεως, ὥσπερ ἡ σελήνη οὐ δύναται γίνεσθαι φωτεινὴ εἰ μὴ τῇ τοῦ ἡλίου δυνάμει καὶ ἐνεργείᾳ, καὶ τὸ καθ' αὑτὸ μὴ θερμαῖνον τῇ τοῦ πυρὸς θέρμῃ, ἀλλὰ καὶ τὰ ὄργανα πρὸς τὸ ἔσχατον τέλος, τῇ δυνάμει τοῦ πρώτως ποιοῦντος τὸ δραστήριον ἔχει. Ὑπὸ δὲ τὸν Θεόν, ὅς ἐστι πρώτως κινοῦν καὶ πρώτως νοοῦν καὶ θέλον, πᾶς νοῦς καὶ θέλησις ὡς ὄργανα τάττονται. Εὐλόγως ἄρα αἱ τούτων ἐνέργειαι πρὸς τὴν ἐσχάτην τελείωσιν, ἥτις ἐστὶν ἡ τεῦξις τῆς αἰωνίου μακαριότητος, οὐκ ἰσχύουσιν εἰ μὴ διὰ τῆς θείας ἐνεργείας.

Ἔτι, πρὸς τὸ τυχεῖν τοῦ τέλους πλεῖστα κωλύματα πρόσεστι τῷ ἀνθρώπῳ, ἥ τε τοῦ λόγου ἀσθένεια, δι' ἣν ῥᾳδίως ἑλκόμενος εἰς ἀπάτην δι' αὐτῆς ἀποπλανᾶται τῆς εὐθείας πρὸς τὸ τέλος ὁδοῦ, τά τε πάθη τοῦ αἰσθητικοῦ μέρους καὶ αἱ διαθέσεις, οἷς ἐπὶ τὰ αἰσθητὰ καὶ ταπεινότερα ἕλκεται· αἵ τε νόσοι τοῦ σώματος εἴργουσαι τῆς τῶν ἐναρέτων πράξεων ἀσκήσεως, δι' ὧν ἐπὶ τὴν μακαριότητα σπεύδομεν. Δεῖται τοίνυν θείας βοηθείας ὁ ἄνθρωπος, ἵνα μὴ διὰ τούτων τῶν κωλυμάτων τοῦ ἐσχάτου τέλους παντελῶς ἀποπέσῃ.

Ἐντεῦθέν ἐστιν ὃ λέγεται ἐν τῷ κατὰ Ἰωάννην· „Οὐδεὶς δύναται ἐλθεῖν πρός με, εἰ μὴ ὁ πέμψας με Πατὴρ ἑλκύσῃ αὐτόν“· καὶ ἐν τῷ αὐτῷ αὖ· „Ὥσπερ τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε“. Ἀποσκορακίζεται δὲ καὶ ἡ τῶν Πελαγιανῶν αἵρεσις, οἵτινες ἔφασαν, ὅτι διὰ μόνου τοῦ αὐτεξουσίου δύναται ὁ ἄνθρωπος τῆς θείας δόξης ἀξιωθῆναι.

## CXLVIII. — Ὅτι ὑπὸ τῆς θείας βοηθείας ὁ ἄνθρωπος οὐκ ἀναγκάζεται πρὸς ἀρετήν.

Κατὰ γὰρ τὸν αὐτῶν τρόπον, πάντων ἡ θεία πρόνοια προνοεῖ. Ἴδιον f. 129v δὲ τοῦ | ἀνθρώπου καὶ πάσης τῆς λογικῆς κτίσεως ἑκουσίως ἐνεργεῖν καὶ κύριον τῆς ἑαυτοῦ πράξεως εἶναι, ὡς δῆλον ἐκ τῶν εἰρημένων· τὸ δ' ἀναγκάζεσθαι τούτῳ ἐναντιοῦται. Οὐκ ἄρα ὁ Θεὸς τῇ ἑαυτοῦ βοηθείᾳ ὀρθῶς πράττειν ἀναγκάζει τὸν ἄνθρωπον, ἀλλ' ἡ θεία βοήθεια οὕτω νοεῖται

---

25 Ioh. 6, 44 27 Ioh. 15, 4

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δίδοσθαι τῷ ἀνθρώπῳ, ὡς καὶ ἐν ἡμῖν τὰ ἡμέτερα ἔργα ἐργαζομένη ὡς ἡ πρώτη αἰτία τὰς τῶν δευτέρων αἰτίων ἐνεργείας ἐργάζεται, καὶ τὸ πρώτως ποιοῦν τὴν τοῦ ὀργάνου ἐνέργειαν ἐνεργεῖ, ὡς ἐν τῷ Ἡσαΐᾳ λέγεται· „Πάντα τὰ ἡμέτερα ἔργα εἰργάσω, Κύριε, ἐν ἡμῖν“. Ἡ δὲ πρώτη αἰτία τῶν τῆς δευτέρας ἐνεργειῶν αἰτία ἐστὶ κατὰ τὸν τρόπον αὐτῆς τῆς δευτέρας, ὥστε καὶ ὁ Θεὸς αἴτιος ἐν ἡμῖν τῶν ἡμετέρων ἔργων κατὰ τὸν ἡμέτερον τρόπον, ὅς ἐστιν ἑκουσίως καὶ μὴ ἠναγκασμένως ποιεῖν. Οὐκ ἄρα τις ὑπὸ τῆς θείας ἀναγκάζεται βοηθείας πρὸς τὸ πράττειν ὀρθῶς, οὔτε οἷόν τε τὴν θεόθεν τῷ ἀνθρώπῳ διδομένην βοήθειαν πρὸς τὴν εὐδαιμονίαν, ἀναγκαστικὴν εἶναι, ἐφόσον ἡ εὐδαιμονία τοῖς ἑκουσίως πράττουσι καὶ κυρίοις τῶν ἰδίων πράξεων οἰκεῖόν ἐστιν· διὸ οὔτε τὰ ἄψυχα, οὔτε τὰ ἄλογα εὐδαίμονα εἶναι φαμέν, ἀλλ᾽ οὐδ᾽ εὐτυχῆ ἢ δυστυχῆ, εἰ μὴ μεταφορικῶς.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ Δευτερονομίῳ· „Κατανόησον, ὅτι σήμερον ἔθηκεν ὁ Θεὸς ἐναντίον σου ζωὴν καὶ ἀγαθόν, καὶ τὸ ἐναντίον, θάνατον καὶ κακόν, ἵνα ἀγαπᾷς Κύριον τὸν Θεόν σου, καὶ πορεύῃ ἐν ταῖς ὁδοῖς αὐτοῦ. Εἰ δὲ διεστραμμένη γένηται ἡ καρδία σου, καὶ ἀκοῦσαι μὴ θελήσῃ, προλέγω σοι σήμερον, ὅτι ἀπολῇ“· καὶ ἐν τῷ Ἐκκλησιαστῇ· „Ἐνώπιον τοῦ ἀνθρώπου ζωή ἐστι καὶ θάνατος, ἀγαθὸν καὶ κακόν· ὃ ἂν ἀρέσῃ αὐτῷ δοθήσεται αὐτῷ“.

Ἐνόμισαν δέ τινες ἀνάγκην ἐπιφέρεσθαι τῷ ἀνθρώπῳ ὑπὸ τῆς θείας βοηθείας πρὸς τὸ εὖ ποιεῖν διὰ τὸ εἰρῆσθαι· „Ἐὰν μὴ ὁ πέμψας με Πατὴρ ἑλκύσῃ αὐτόν“· καὶ ἐν τῇ πρὸς Κορινθίους· „Ἡ ἀγάπη τοῦ Θεοῦ ἄγει ἡμᾶς“, ἃ τῷ κατανοεῖν δυναμένῳ ὀρθῶς οὐδὲν τοιοῦτον βούλεται.

## CXLIX. — Ὅτι ὁ ἄνθρωπος οὐχ ὡς μισθὸν πράξεων λαμβάνει τὴν θείαν βοήθειαν.

Πᾶν γὰρ πρὸς τὸ ὑπὲρ αὐτὸ ὡς ὕλη ἔχει, ἡ οὐ κινεῖ ἑαυτὴν πρὸς τὴν ἰδίαν τελειότητα. Ὁ ἄνθρωπος ἄρα οὐ κινεῖ ἑαυτὸν πρὸς τὸ τῆς θείας βοηθείας τυχεῖν, ὑπὲρ αὐτὸν οὔσης, ἀλλὰ μᾶλλον ὑπὸ τοῦ Θεοῦ κινεῖται πρὸς τὸ ταύτης τυχεῖν. Ἡ δὲ τοῦ κινοῦντος κίνησις τῆς τοῦ κινητοῦ
κινήσεως | προηγεῖται καὶ λόγῳ καὶ αἰτίᾳ. Οὐκ ἄρα ἐν ἡμῖν ἐγγίνεται ἡ f. 130
θεία βοήθεια, ὅτι ἐπ᾽ αὐτὴν ἡμεῖς διὰ τῶν ἀγαθῶν ἔργων βαδίζομεν, ἐπεὶ μᾶλλον ἡμεῖς ὑπ᾽ αὐτῆς καταλαμβανόμεθα.

Ἔτι, ἀδύνατον εἶναί τινα κίνησιν ἐν ψυχῇ, ἣν οὐ προλαμβάνει ἡ θεία ἐνέργεια· παραβάλλεται γὰρ πρὸς τὸν Θεὸν ἡ ψυχὴ ὡς τὸ μερικῶς ποιοῦν πρὸς τὸ καθόλου ποιοῦν, καὶ οὐδὲν μερικῶς ποιοῦν φθάνει τὴν ἐνέργειαν τοῦ πρώτως ποιοῦντος. Διὸ καὶ ἐν τῷ κατὰ Ἰωάννην φησὶν ὁ Κύριος·

---

4 Is. 26, 12 13 Deut. 30, 15-18 17 Eccli. 15, 18 21 Ioh. 6, 44
22 II Cor. 5, 14

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

„Οὐ δύνασθε ποιεῖν χωρὶς ἐμοῦ οὐδέν“· καὶ ἐν τῇ πρὸς Τίτον· „Οὐκ ἐξ ἔργων δικαιοσύνης, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς“· καὶ ἐν ὀγδόῳ τῆς πρὸς Ῥωμαίους· „Οὐ τοῦ θέλοντος, δηλονότι τὸ θέλειν, οὔτε τοῦ τρέχοντος τὸ τρέχειν, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ“, ἐπεὶ δηλονότι ἀνάγκη πρὸς τὸ καλῶς θέλειν τὸν ἄνθρωπον τῇ θείᾳ προλαμβάνεσθαι βοηθείᾳ, ὥσπερ εἴωθεν τὸ τυχὸν ἀποτέλεσμα μὴ τῷ προσεχῶς ποιοῦντι ἀποδίδοσθαι ἀλλὰ τῷ πρώτως κινοῦντι, ὡς ἡ νίκη τῷ ἡγεμόνι, ἣν οἱ στρατιῶται πόνοις ἰδίοις περιποιοῦνται. Οὐ μέντοι διὰ τοὺς τοιούτους τῶν λόγων ἀναιρεῖται τὸ αὐτεξούσιον, ὥς τινες κακῶς ἐνόησαν, ὡς ἂν τοῦ ἀνθρώπου μὴ κυρίου τῶν ἑαυτοῦ πράξεων ὄντος καὶ τῶν ἔνδον καὶ τῶν ἔξω, ἀλλὰ δείκνυται, ὡς ὑποτέτακται τῷ Θεῷ.

Ὅθεν ἐν τοῖς Θρήνοις λέγεται· „Πρὸς σὲ ἐπιστραφησόμεθα“· ἐξ οὗ δῆλον ὡς ἡ ἡμετέρα ἐπιστροφὴ πρὸς τὸν Θεὸν προσλαμβάνεται τῇ τοῦ ἡμᾶς ἐπιστρέφοντος Θεοῦ βοηθείᾳ. Λέγεται γὰρ ἐν τῷ Ἡσαΐᾳ ὡς ἀπὸ τοῦ Θεοῦ· „Ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς“, οὐχ ὥστε μὴ τὴν τοῦ Θεοῦ ἐνέργειαν τὴν ἡμετέραν ἐπιστροφὴν προλαβεῖν, ὡς εἴρηται, ἀλλ' ὅτι τῇ ἡμετέρᾳ ἐπιστροφῇ, ᾗ πρὸς αὐτὸν ἐπιστρεφόμεθα, βοηθεῖ ἀκολούθως τῷ βεβαιοῦν αὐτὴν ὥστ' ἀφικέσθαι πρὸς τὸ τέλος, καὶ τῷ στηρίζειν ὥστε τοῦ ὀφειλομένου τέλους τυχεῖν.

Ἐντεῦθεν ἀποκλείεται καὶ ἡ τῶν Πελαγιανῶν αἵρεσις, λεγόντων τὴν τοιαύτην βοήθειαν ἀντὶ μισθῶν ἡμῖν δίδοσθαι, καὶ ὅτι ἐξ ἡμῶν αὐτῶν ἐστι τὸ δικαιωθῆναι ἡμᾶς, τὸ δὲ συντελεσθῆναι, παρὰ Θεοῦ.

## CL. — Ὅτι ἡ προειρημένη θεία βοήθεια χάρις ὀνομάζεται,
f. 130v καὶ τίς ἐστιν ἡ κεχαρισμένον | ποιοῦσα χάρις.

Ἐπεὶ δὲ τὸ διδόμενόν τινι ἄνευ προηγησαμένων πόνων προῖκα δίδοσθαι λέγεται, ἡ δὲ θεία βοήθεια ἡ τῷ ἀνθρώπῳ διδομένη παντὸς ἀνθρωπίνου προηγεῖται καμάτου, ὡς δέδεικται, ἕπεται τὸ τὴν βοήθειαν ταύτην προῖκα δίδοσθαι τῷ ἀνθρώπῳ, καὶ διὰ τοῦτο ἁρμοζόντως τὸ τῆς χάριτος ὄνομα εἴληφεν· ὅθεν καὶ ὁ Ἀπόστολος, ἐν ἑνδεκάτῳ τῆς πρὸς Ῥωμαίους φησίν· „Εἰ χάρις ἐστίν, ἤδη οὐκ ἐξ ἔργων· εἰ δὲ μή, ἡ χάρις οὐκέτι ἐστὶ χάρις“.

Ἔστι δὲ καὶ ἑτέρα αἰτία, δι' ἣν ἡ προειρημένη θεία βοήθεια τὸ τῆς χάριτος ὄνομα εἴληφεν· λέγεται γάρ τίς τινι εἶναι κεχαρισμένος, ὅτι ἐστὶν αὐτῷ φίλος· ὅθεν καὶ ὁ ὑπό τινος φιλούμενος λέγεται τὴν χάριν ἔχειν αὐτοῦ. Ἔστι δὲ ἐκ τοῦ τῆς ἀγάπης λόγου τὸ τὸν ἀγαπῶντα ἀγαθὸν βούλεσθαι τῷ ἀγαπωμένῳ. Ἀλλὰ καὶ ὁ Θεὸς ἀγαθὰ βούλεται καὶ ἐνεργεῖ

---

1 Ioh. 15, 5 Tit. 3, 5 3 Rom. 9, 16 12 Thr. 5, 21 15 Zach. 1, 3, non Isaie 31 *Εἰ* corrigé de *ἡ* A Rom. 11, 6

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

περὶ πᾶν κτίσμα· αὐτὸ γὰρ τὸ εἶναι ἑκάστου κτίσματος, τουτέστιν ἡ τελειότης αὐτοῦ πᾶσα, παρὰ τοῦ Θεοῦ θέλοντος καὶ ἐνεργοῦντός ἐστιν, ὡς ἐδείχθη. Διὸ καὶ ἐν τῇ Σοφίᾳ λέγεται· „Ἀγαπᾷς πάντα τὰ ὄντα, καὶ οὐδὲν ἐμίσησας, ὧν ἐποίησας". Ὅμως ἴδιός τις λόγος τῆς θείας ἀγάπης πρὸς ἐκείνους θεωρεῖται, οἷς βοήθειαν χορηγεῖ πρὸς τὸ τυχεῖν τοῦ ἀγαθοῦ, ὃ τὴν τῆς αὐτῶν φύσεως τάξιν ὑπερβαίνει, τουτέστι τὴν τελείαν ἀπόλαυσιν οὐ κτιστοῦ τινος ἀγαθοῦ, ἀλλ' ἑαυτοῦ. Αὕτη τοίνυν ἡ βοήθεια οἰκείως λέγεται χάρις οὐ μόνον ὡς προῖκα διδομένη, ἀλλ' ὅτι ταύτῃ ὁ ἄνθρωπος κεχαρισμένος ἀποδείκνυται τῷ Θεῷ. Ὅθεν καὶ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Φιλιππησίους φησίν· „Προώρισεν ἡμᾶς εἰς υἱοθεσίαν, κατὰ τὴν πρόθεσιν τῆς θελήσεως αὐτοῦ, εἰς ἔπαινον τῆς δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ Υἱῷ αὐτοῦ".

Ἀνάγκη δὲ ταύτην τὴν χάριν ἐν τῷ κεχαρισμένῳ ἀνθρώπῳ εἶναί τι, ὥσπερ τινὰ τελειότητα καὶ εἶδος αὐτοῦ. Τὸ γὰρ εἴς τι τέλος ἀγόμενον ἀνάγκη συνεχῆ τάξιν ἔχειν πρὸς αὐτό· τὸ γὰρ κινοῦν συνεχῶς ἀλλοιοῖ, μέχρις ἂν τὸ κινούμενον διὰ τῆς κινήσεως τύχῃ τοῦ τέλους. Ἐπεὶ τοίνυν ὁ ἄνθρωπος τῇ τῆς θείας χάριτος βοηθείᾳ εἰς τὸ ἔσχατον ἄγεται τέλος, ὡς δέδεικται, | ἀνάγκη τῇ βοηθείᾳ ταύτῃ συνεχῶς τὸν ἄνθρωπον τελειοῦσθαι f. 131
μέχρις ἂν φθάσῃ ἐπὶ τὸ τέλος· τοῦτο δ' οὐκ ἂν ἦν, εἰ τῆς προειρημένης βοηθείας μετεῖχεν ὁ ἄνθρωπος κατά τινα κίνησιν ἢ πάθος, καὶ οὐ κατά τι μένον εἶδος, καὶ ὥσπερ ἠρεμεῖν ἐν αὐτῷ. Ἡ γὰρ τοιαύτη κίνησις καὶ τὸ πάθος οὐ δύναται εἶναι ἐν τῷ ἀνθρώπῳ, εἰ μὴ ὅτε ἐνεργείᾳ ἐπιστρέφεται πρὸς τὸ τέλος, ὅπερ ὑπὸ τοῦ ἀνθρώπου οὐ συνεχῶς ἐνεργεῖται, ὡς ἐπὶ τῶν καθευδόντων μάλιστα δῆλον. Ἡ ἄρα κεχαρισμένον ποιοῦσα χάρις εἶδός τί ἐστι καὶ τελειότης ἐν τῷ ἀνθρώπῳ μένουσα, καὶ ὅταν μὴ ἐνεργῇ.

Ἔτι, ἀνάγκη προσκεῖσθαι τῷ ἀνθρώπῳ ὑπερφυές τι εἶδος καὶ τελειότητα, δι' ἧς οἰκείως πρὸς τὸ ὑπερφυὲς ταχθήσεται τέλος· ἕκαστον γὰρ κατὰ τὸν λόγον τοῦ εἴδους πρὸς τὸ οἰκεῖον τάττεται τέλος.

Ἐντεῦθέν ἐστι τὸ τὴν τοῦ Θεοῦ χάριν ἐν τῇ Γραφῇ ὥσπερ φῶς τι δηλοῦσθαι· Φησὶ γὰρ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ἐφεσίους· „Ἦτέ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ". Ἡ δὲ τελειότης δι' ἧς ὁ ἄνθρωπος προάγεται εἰς τὸ ἔσχατον τέλος, ὅπερ ἐν τῇ θείᾳ θεωρίᾳ συνίσταται, ἁρμοζόντως λέγεται φῶς, ὅπερ ἐστὶν ἀρχὴ τοῦ ὁρᾶν.

Διὰ τούτου ἀποκλείονται καὶ οἱ λέγοντες μηδὲν ἐν τῷ ἀνθρώπῳ τιθέναι τὴν τοῦ Θεοῦ χάριν, ὥσπερ οὐδὲ ἔν τινι τιθέναι τι διὰ τὸ λέγεσθαι χάριν ἔχειν τοῦ βασιλέως, ἀλλὰ μόνον ἐν τῷ ἀγαπῶντι βασιλεῖ. Δῆλον δὲ ὡς ἐντεῦθεν αὐτοὺς ἠπατῆσθαι συμβέβηκεν, ὅτι μὴ κατέλαβον τὴν

3 Sap. 11, 25 10 Ephes. 1, 5, non Phil. 31 Ephes. 5, 8



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

διαφορὰν τῆς τε θείας ἀγάπης καὶ τῆς ἀνθρωπίνης· ἡ γὰρ θεία ἀγάπη αἰτία ἐστὶν ἀγαθοῦ, ὅπερ ἀγαπᾷ ἐν ἑτέρῳ, οὐκ ἀεὶ δὲ ἡ ἀνθρωπίνη.

## CLI. — Ὅτι ἡ κεχαρισμένον ποιοῦσα χάρις αἰτία γίνεται ἐν ἡμῖν ἀγάπης Θεοῦ.

Ἡ γὰρ κεχαρισμένον ποιοῦσα χάρις ἀποτέλεσμά ἐστι τῆς θείας ἀγάπης ἐν τῷ ἀνθρώπῳ· ἴδιον δὲ ἐν τῷ ἀνθρώπῳ ἀποτέλεσμα τῆς θείας ἀγάπης τὸ τὸν Θεὸν ἀγαπᾶν· τοῦτο γάρ ἐστιν ἐξαίρετον ἐν τῷ τοῦ ἀγαπῶντος σκοπῷ, ὥστε ὑπὸ τοῦ φιλουμένου ἀντιφιλεῖσθαι· πρὸς γὰρ τοῦτο μάλιστα ὁ τοῦ φιλοῦντος ἀγὼν τείνει, ὥστε πρὸς τὴν αὐτοῦ φιλίαν ἑλκῦσαι τὸν φιλούμενον, καὶ ἂν μὴ τοῦτο συμβαίνῃ, ἀνάγκη τὴν φιλίαν διαλυθῆναι. Ἐκ τῆς κεχαρισμένον τοίνυν ποιούσης χάριτος ἕπεται ἐν τῷ ἀνθρώπῳ τὸ τὸν Θεὸν ἀγαπᾶν.

f. 131v Ἔτι, πρὸς τὴν τῆς ἐνεργείας τελειότητα ζητεῖται τὸ μετ᾽ ἐνστάσεως καὶ ὁρμῆς ἐνεργεῖν· τοῦτο δὲ μάλιστα ποιεῖ ἡ ἀγάπη, δι᾽ ἣν καὶ τὰ δυσχερῆ κοῦφα δοκεῖ. Ἐπεὶ οὖν τῇ κεχαρισμένον ποιούσῃ χάριτι ἀνάγκη τὰς τοῦ ἀνθρώπου ἐνεργείας τελείας γίνεσθαι, ὡς προείρηται, ἀνάγκη διὰ τῆς αὐτῆς χάριτος τὸ τὴν τοῦ Θεοῦ ἀγάπην ἐν ἡμῖν ἐγγίνεσθαι.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ πρὸς Ῥωμαίους· „Ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν“· καὶ ὁ Κύριος ἐν τῷ κατὰ Ἰωάννην· „Ὁ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτόν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν“.

## CLII. — Ὅτι ἡ θεία χάρις αἰτία γίνεται πίστεως ἐν ἡμῖν.

Ἡ γὰρ κίνησις ᾗ διὰ τῆς χάριτος ἀγόμεθα πρὸς τὸ τέλος ἑκουσία, ἀλλ᾽ οὐ βίαιός ἐστιν, ὡς εἴρηται· ἡ δ᾽ ἐπί τι ἑκούσιος κίνησις οὐ δύναται εἶναι εἰ μὴ εἴη ἐγνωσμένον. Ἀνάγκη τοίνυν διὰ τῆς χάριτος ἐν ἡμῖν γνῶσιν τοῦ ἐσχάτου τέλους ἐγγίνεσθαι πρὸς τὸ ἑκουσίως ἐπ᾽ αὐτὸ φέρεσθαι· ἡ δὲ τοιαύτη γνῶσις οὐ δύναται εἶναι ἐν τῷ παρόντι βίῳ κατὰ ἄμεσον θεωρίαν, ὡς ἀποδέδεικται. Ἀνάγκη ἄρα τὴν διὰ τῆς πίστεως εἶναι γνῶσιν.

Ἔτι, ἐν τῇ ἀρχῇ ταύτης τῆς πραγματείας ἐτέθησαν αἱ ἀνάγκαι τοῦ προτεθῆναι τοῖς ἀνθρώποις τὴν ἀλήθειαν κατὰ τὸν τῆς πίστεως τρόπον, ἐξ ὧν δυνατὸν συμπεραίνειν, ὡς ἀναγκαῖον ἦν τὴν πίστιν τῆς θείας χάριτος ἀποτέλεσμα εἶναι ἐν ἡμῖν.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ πέμπτῳ τῆς πρὸς Ἐφεσίους· „Χάριτί ἐστε σεσωσμένοι διὰ πίστεως, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον“. Διὰ τούτου δὲ ἡ αἵρεσις τῶν Πελαγιανῶν ἀποκλείεται, οἵτινες ἔλεγον τὴν τῆς πίστεως ἀρχὴν μὴ γίνεσθαι ἀπὸ Θεοῦ, ἀλλ᾽ ἀφ᾽ ἡμῶν.

---

19 Rom. 5, 5 21 Ioh. 14, 21 35 Eph. 2, 8

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

CLIII. — Ὅτι ἡ θεία χάρις αἰτία γίνεται ἐν ἡμῖν ἐλπίδος.

Ἑπόμενον γάρ ἐστι διὰ τῆς χάριτος ταύτης, δι' ἧς ἡμῖν ἐγγίνεται τὸ τὸν Θεὸν ἀγαπᾶν, συμβαίνειν ἡμῖν καὶ ἐλπίδα περὶ τοῦ Θεοῦ. Εἰ γὰρ καὶ ἡ ἀληθὴς ἀγάπη οὐ διὰ τὴν ἰδίαν ἐστὶν ὠφέλειαν, ἀλλ' ἀνάγκη τὸν ἀληθῶς ἀγαπῶντα, ὅταν ἑαυτὸν ἀγαπώμενον ὑπὸ τοῦ ἀγαπωμένου γινώσκῃ, ἐλπίδα ἔχειν εἰς ἐκεῖνον, οὕτω δὲ διὰ τῆς χάριτος ὁ ἄνθρωπος ἐραστὴς καθίσταται τοῦ Θεοῦ κατὰ τὸ τῆς ἀγάπης ἀποτέλεσμα, | ὥστε διὰ τῆς f. 132 πίστεως νουθετεῖσθαι, ὅτι προαγαπᾶτο ὑπὸ Θεοῦ, ὡς ἐν τῇ πρώτῃ τοῦ Ἰωάννου λέγεται, ὅτι· „Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν Θεόν, ἀλλ' ὅτι πρότερος ἐκεῖνος ἠγάπησεν ἡμᾶς". Ἕπεται τοίνυν τῷ δώρῳ τῆς χάριτος τὸ τὸν ἄνθρωπον ἐλπίζειν ἐπὶ τὸν Θεόν. Ἐκ τούτου δὲ κἀκεῖνο φανερόν, ὅτι ὥσπερ ἡ ἐλπὶς ἑτοιμασία τίς ἐστι πρὸς τὴν ἀληθῆ τοῦ Θεοῦ ἀγάπην, οὕτω δὲ τὸ ἀνάπαλιν ἐκ τῆς ἀγάπης ὁ ἄνθρωπος βεβαιοῦται ἐν τῇ ἐλπίδι.

Ἔτι, ἡ ἀγάπη τοῦ Θεοῦ ἐν τῇ ψυχῇ ποιεῖ ἐπιθυμίαν τῆς πρὸς τὸν Θεὸν ὡς οἷόν τε ἑνώσεως, ἣν δὴ ἕνωσιν ἡ πίστις δείκνυσι δυνατὴν εἶναι ἐν τῇ τελείᾳ τοῦ Θεοῦ· ἀπολαύσει, ἥ ἐστιν ἡ μακαριότης, ἔργον οὖσα καὶ αὐτὴ τῆς ἀγάπης ἡ πίστις, ὡς εἴρηται. Ἀλλ' ἡ ἐπιθυμία βαρύνει τὴν τοῦ ἐπιθυμοῦντος ψυχήν, εἰ μὴ προσείη ἡ τοῦ τυχεῖν ἐλπίς· ὥστ' ἀναγκαῖον ἦν γίνεσθαι καὶ ἐλπίδα τῆς μελλούσης μακαριότητος ἐν ἀνθρώποις καὶ τῆς ἐν τῇ αὐτοῦ ἀπολαύσει ἑνώσεως.

Ἀναγκαῖον δὲ ἦν ἐλπίδα δοθῆναι τῷ ἀνθρώπῳ ἐκ τῆς θείας χάριτος δι' ἧς ἀγαπᾷ τὸν Θεὸν πρὸς τὸ κουφότερον καὶ προθυμότερον ἐπὶ τὴν μακαριότητα τείνειν, φέροντα καὶ ὑπερπηδῶντα τὰς ἐν τῇ τοιαύτῃ ὁδῷ δυσχερείας, αἳ τοῖς δι' ἀρετῆς ἐπὶ τὴν μακαριότητα βαδίζουσιν ἀνακύπτουσιν. Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ πρώτῃ Πέτρου· „Ἀνεγέννησεν ἡμᾶς εἰς ἐλπίδα ζῶσαν, εἰς κληρονομίαν ἀμάραντον, τετηρημένην ἐν τοῖς οὐρανοῖς"· καὶ ἐν τῇ πρὸς Ῥωμαίους· „Τῇ ἐλπίδι ἐσώθημεν".

CLIV. — Περὶ τῶν προῖκα διδομένων τῆς χάριτος δώρων, ἐν ᾧ καὶ περὶ μαντειῶν τῶν ἀπὸ δαιμόνων.

Ἐπεὶ δὲ τὰ παρὰ τοῦ Θεοῦ τάξει τινὶ γίνονται πάντα, καὶ ἡ φανέρωσις τῶν περὶ τὴν πίστιν ἡμῖν ἐξ αὐτοῦ τάξει τινὶ γίνεται. Τὰ τοίνυν ἀόρατα, ὧν ἡ θεωρία μακαρίους ποιεῖ καὶ περὶ ἅ ἐστιν ἡ πίστις, πρῶτον μὲν παρὰ Θεοῦ τοῖς ἀγγέλοις ἀποκαλύπτονται ἀπαρακαλύπτῳ θεωρίᾳ, ὡς εἴρηται πρότερον· ἔπειτα μεσιτευόντων ἀγγέλων τισὶ τῶν ἀνθρώπων ἀποκαλύπτει διά τινος βεβαίας πειθοῦς ἐκ τῆς θείας ἀποκαλύψεως προϊούσης, ἥτις γίνεται τῷ ἔνδοθεν καὶ νοητῷ φωτὶ μετεωρίζοντι τὴν διάνοιαν πρὸς

8 *προαγαπᾶτο* sic A  9 I Ioh. 4, 10  26 I Petr. 1, 3-4  28 Rom. 8, 24



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸ δέξασθαι τὰ διὰ τοῦ φυσικοῦ φωτὸς τῷ νῷ ἀνέφικτα. Ὡς γὰρ διὰ f. 132v τοῦ φυσικοῦ φωτὸς | βέβαιός ἐστιν ὁ νοῦς περὶ ὧν ὁ νοῦς διὰ τοῦ φωτὸς ἐκείνου γινώσκει, ὡς περὶ τῶν πρώτων ἀρχῶν, οὕτω καὶ περὶ ὧν διὰ τοῦ ὑπερφυοῦς καταλαμβάνει φωτὸς ἰσχυρὰν ἔχει πειθώ, ὥστε καὶ ἑτέροις ταῦτα προτιθέναι δύνασθαι, περὶ ὧν αὐτὸς πέπεισται. Οὐ γὰρ θαρρούντως προβάλλομεν ἄλλοις περὶ ὧν οὐ πεπείσμεθα. Μετὰ δὲ τοῦ φωτὸς τοῦ ἔνδοθεν ἐλλάμποντος τὴν διάνοιαν πάρεισι πολλάκις καὶ ἄλλα τῆς γνώσεως βοηθήματα ἔνδοθέν τε καὶ ἔξωθεν, ὥσπερ λόγος τις ἢ ἔξωθεν αἰσθητῶς ἀκουόμενος τῇ θείᾳ δυνάμει τυπούμενος, ἢ τῆς φαντασίας ἔνδοθεν δεχομένης, τοῦ Θεοῦ τοῦτο ποιοῦντος, καὶ ἕτερά τινα σωματικὰ ἔξωθεν ὁρώμενα, ὑπὸ Θεοῦ τυπούμενα, ἢ ἔνδοθεν ἐν τῇ φαντασίᾳ περιγραφόμενα. Τὰ τοιαῦτα δὲ ἄνευ τοῦ ἔνδον φωτὸς οὐκ ἀρκοῦσι πρὸς τὴν γνῶσιν τῶν θείων, τὸ δὲ ἔνδον φῶς καὶ ἄνευ τούτων ἀρκεῖ. Αὕτη δὲ ἡ ἀποκάλυψις τῶν ἀοράτων τῇ σοφίᾳ προσήκει, ἥτις τῶν θείων γνῶσις ἰδίως ἐστίν, ὡς ἐν τῇ Σοφίᾳ λέγεται, ὅτι „Ἡ τοῦ Θεοῦ σοφία κατὰ γενεὰς εἰς ψυχὰς ὁσίας διαβαίνει· οὐδένα γὰρ ἀγαπᾷ ὁ Θεὸς ὡς τὸν μετὰ σοφίας κατοικοῦντα“.

„Ἐπεὶ δὲ τὰ ἀόρατα τοῦ Θεοῦ τοῖς ποιήμασι νοούμενα καθορᾶται“, οὐ μόνον ἀποκαλύπτονται τοῖς ἀνθρώποις τὰ θεῖα διὰ τῆς χάριτος, ἀλλὰ καί τινα τῶν κτιστῶν, ἃ τῇ ἐπιστήμῃ προσήκει, ὡς ἐν τῇ Σοφίᾳ λέγεται· „Αὐτὸς δέδωκέ μοι τῶν ὄντων ἐπιστήμην ἀληθῆ, ἵν' εἰδῶ τὴν τῆς οἰκουμένης διάταξιν καὶ τὰς δυνάμεις τῶν στοιχείων“. Ἀνάγκη δὲ ἦν τοῖς ταῦτα ἀποκαλυπτομένοις καὶ χάρισμα διδασκαλίας δίδοσθαι πρὸς τὴν τῶν ἄλλων ὠφέλειαν, καθὼς ἡ χρεία τῶν διδασκομένων ἀπῄτει. Ὅθεν ἐν τῷ Ἡσαΐᾳ λέγεται· „Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, ἵνα γινώσκω ὑπεριδεῖν τὸν ἁμαρτάνοντα ἐν λόγῳ“· καὶ ἐν τῷ κατὰ Λουκᾶν· „Ἐγὼ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν“. Διὸ καὶ ὅτε ἐδέησε δι' ὀλίγων ἐν διαφόροις ἔθνεσι τὴν τῆς πίστεως ἀλήθειαν κηρυχθῆναι, ἐπαιδεύθησάν τινες θεόθεν, ὥστε διαφόροις γλώσσαις λαλεῖν.

Ἐπεὶ δὲ ἔδει καὶ βεβαιώσεως τῷ προτιθεμένῳ λόγῳ, καὶ τὰ τῆς πίστεως ὑπὲρ λόγον καὶ λογικὴν βεβαίωσίν ἐστιν, σημεῖα ἐδόθησαν τοῖς τοιούτοις ποιεῖν, ὡς ἐν τῷ κατὰ Ματθαῖον λέγεται· „Ἀσθενοῦντας θερα- f. 133 πεύετε, νεκροὺς ἐγείρετε“, | καὶ τὰ ἑξῆς· καὶ ἐν τῷ κατὰ Μάρκον· „Ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων“.

Ἦν δὲ καὶ ἕτερος τρόπος βεβαιώσεως ὁ διὰ τῆς προφητείας, περὶ οὗ λέγεται ἐν τῇ πρὸς Κορινθίους πρώτῃ· „Εἰ δὲ πάντες προφητεύουσιν,

---

15 Sap. 7, 27-28 17 cf. Rom. 1, 20 20 Sap. 7, 17 24 Is. 50, 4 25 Luc. 21, 15 32 Matth. 10, 8 33 Marc. 16, 20 37 I Cor. 14, 25

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

εἰσέλθοι δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων· τὰ κεκρυμμένα τῆς καρδίας αὐτοῦ φανεροῦνται, καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ, ὁμολογῶν ὅτι Θεός ἐστιν ἀληθῶς ἐν ὑμῖν". Καὶ διὰ τοῦτο, ἀναγκαῖον ἦν καὶ τὸ τῆς προφητείας χάρισμα δοθῆναι, καὶ δέδοται οὐ μὴν ὡς ἀρκοῦσα μαρτυρία περὶ τῆς πίστεως, εἰ μὴ περὶ τῶν ὑπὸ μόνου τοῦ Θεοῦ γινώσκεσθαι δυναμένων, οἷά εἰσι τὰ τῶν καρδιῶν ἀπόρρητα καὶ τὰ μέλλοντα συμβεβηκότα· καὶ ἄμφω γὰρ μόνῃ τῇ θείᾳ γνώσει ὑπόκεινται.

Εἰσὶ δέ τινα μέλλοντα συμβεβηκότα καὶ τοῖς ἀνθρώποις προγνωστά, οὐχ ᾗ μέλλοντα, ἀλλ' ᾗ ἐν ταῖς αὐτῶν αἰτίαις προϋφεστήκασιν, ὧν γνωσθεισῶν, ἢ καθ' ἑαυτάς, ἢ σημείοις τισὶν ἢ ἀποτελέσμασιν αὐτῶν προγινώσκονται, ὥσπερ ὁ ἰατρὸς προγινώσκει τὴν ἐσομένην ὑγίειαν ἢ τελευτήν, τὴν ἕξιν τῆς φυσικῆς γνωρίζων δυνάμεως τῷ σφυγμῷ καὶ τῷ οὔρῳ καὶ τοῖς τοιούτοις σημείοις, ἡ πρόγνωσις, πῇ μὲν βέβαιος, πῇ δὲ ἀβέβαιος διὰ τὸ ταῖς μὲν τῶν αἰτιῶν ἐξ ἀνάγκης ἀκολουθεῖν τὰ μέλλοντα ἀποτελέσματα, ταῖς δὲ ὡς ἐπὶ τὸ πλεῖστον. Ἀλλ' ἡ ἐκ θείας ἀποκαλύψεως πρόγνωσις κατὰ χάριν προφητικὴν παντάπασιν ἀληθής, ὥσπερ καὶ ἡ θεία πρόγνωσις, οὐκ ἐν ταῖς αἰτίαις αὐτῶν ἀλλὰ καὶ ἐν ἑαυτοῖς ἕκαστα τοῦ Θεοῦ θεωροῦντος, καὶ οὕτω μετ' ἀληθείας βεβαίου τοῖς ἀξίοις καὶ οἷς θέλει ἀποκαλύπτοντος. Αὕτη μέντοι ἡ ἀλήθεια οὐ μάχεται τῷ τῶν μελλόντων συμβεβηκότι, ὥσπερ οὐδὲ ἡ τῆς θείας ἐπιστήμης ἀλήθεια, ὡς δέδεικται. Ἐνίοτε μέντοι τινὰ τῶν μελλόντων τοῖς προφήταις ἀποκαλύπτονται οὐ καθ' ὃ εἰσιν ἐν ἑαυτοῖς ἐκεῖνα, ἀλλὰ καθόσον ἐν τοῖς αὐτῶν αἰτίοις εἰσίν, ὅτε τῶν αἰτίων ἐμποδιζομένων πολλάκις εἰς τὰ αὐτῶν ἀποτελέσματα προελθεῖν, καὶ ἡ τῆς προφητείας μεταβάλλεται πρόρρησις, ὥσπερ ὁ Ἡσαΐας προεῖπεν ἀσθενοῦντι τῷ Ἐζεκίᾳ· „Διέθου τῷ οἴκῳ σου, ὅτι ἀποθανῇ σύ, καὶ οὐ ζήσῃ", οὗτος μέντοι θεραπεύεται· | καὶ ὁ Ἰωνᾶς· „Ὅτι Νινευὶ καταστραφήσεται μετὰ f. 133v
τεσσαράκοντα ἡμέρας", καὶ οὐ κατέστραπται. Προειρήκεσαν γὰρ ὃ μὲν κατὰ τὴν τάξιν τῆς τοῦ σώματος διαθέσεως πρὸς τὸν θάνατον, ὃ δὲ κατὰ τὸ δίκαιον τῶν ἀνταποδόσεων, ἑκατέροις μέντοι ἄλλως ἀπέβη κατὰ τὴν ἐνέργειαν τοῦ Θεοῦ, ἐλευθεροῦντος καὶ ἰωμένου. Οὕτω τοίνυν ἡ προφητικὴ πρόρρησις περὶ τῶν μελλόντων συμβεβηκότων, περὶ ὧν οὐκ ἔστι μετὰ ἀσφαλείας προειπεῖν τινα εἰ μὴ ἐκ προφητείας, ἱκανὴ τῆς πίστεως ἐστὶν ἀπόδειξις. Εἰ γὰρ καί ποτε ἀποκαλύπτεταί τινι προφήτῃ κατὰ τὴν πρός τι ἀποτέλεσμα τῶν αἰτίων τάξιν, ἅμα μέντοι ἢ μετὰ ταῦτα ἀποκαλύπτεται αὐτῷ περὶ τῆς ἀποβάσεως τοῦ μέλλοντος ἀποτελέσματος, ὅπως μεταβληθῆναι δέοι, ὥσπερ τῷ Ἡσαΐᾳ ἡ τοῦ Ἐζεκίου ὑγίεια, καὶ ἡ τῶν Νινευιτῶν ἐλευθερία τῷ Ἰωνᾷ.

---

26 Is. 38, 1 27 Ion. 3

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006